# ΠΑΡΑΡΤΗΜΑ.

## ΕΠΙΣΤΟΛΗ

Σταλεῖσα πρὸς τὸν ἀοίδιμον Κωνστάντιον, ὅτ' ἐπατριάρχευεν, ἐκ τῆς Νήσου Πάτμου, ἐν ᾗ ἀναφέρεται ἡ ἐπὶ τοῦ Ἀλεξίου τοῦ Κομνηνοῦ γενομένη Περιγραφὴ τῆς Νήσου ταύτης.

Παναγιώτατε!

ΑΝΕΓΝΩΜΕΝ καὶ τὴν Περιγραφὴν, ἐπονομαζομένην φερωνύμως Κωνσταντινιὰς, τῆς φιλτάτης καὶ λαμπρᾶς Αὐτῆς Πατρίδος καὶ τῶν πόλεων Βασιλίδος, ἧς οὐ μόνον ἄλλος κόσμος καὶ εὐδαιμονία ὁλόκληρος ἡ φιλόμουσος Αὐτῆς Παναγιότης, ἀλλὰ καὶ Ποιήματι αὐτῷ, ὡς οἵαν δή τινα στήλην ἔμμουσον, τὴν ἐνεγκαμένην κατεκόσμησεν, οἴκοθεν ἐξορμωμένη καὶ ἔρωτι διαπύρῳ, οὐχ' ἧττον πρὸς εὔκλειαν τοῦ γράψαντος, ἀλλὰ μᾶλλον εἰς κοινὸν ὄφελος καὶ παντὸς τοῦ Γένους εὐαρέστησιν, ἵν', ὧν περ ἐστερήθημεν, λάβωμεν αἴσθησιν, καὶ οἷς τ' ἐμπεπτώκαμεν, γνῶμεν. Διὰ τοῦτο, ἵνα τοὺς πάντας πλουτήσῃ τοῦ τηλικούτου καὶ τοιούτου ἀσύλου πλούτου, οὔτε πόνων ἐφείσατο, οὔτ' ἐξόδων, ἀλλ' ὡς ἄριστος καὶ πανάριστος φιλολόγος τε καὶ ἀρχαιολόγος, καθὼς παρὰ πάντων διαφημολογεῖται τὸ περικλεέστατον Αὐτῆς ὄνομα, καταλλήλως ἐξέδωκεν εἰς τὴν τοῦ τύπου φεγγοβολίαν τὸ περὶ τῶν ἀρχαίων καὶ νέων τῆς Κωνσταντινουπόλεως τοῦτο Σύνταγμα, συνηρμοσμένον ἀραρότως, καὶ διαβατικώτατα ἐξυφασμένον διὰ τῆς βεβηκυίας Αὐτῆς φρονήσεως καὶ πολυμαθείας. Ὅθεν καὶ ἡμεῖς εἰς ἀμοιβὴν τὴν ἐνοῦσάν γε καθυποβάλλομεν ὑπὸ τὴν περιέργειαν τῆς ὑμετέρας Παναγιότητος, καὶ τῆς γενεθλίας καὶ ἀθλίας ἡμῶν Πατρίδος τὴν Περιγραφὴν, ἣν ἐποιήσατο ὁ τότε Νικόλαος Τζάντζης Βασιλικὸς Νοτάριος τοῦ ἀοιδίμου Αὐτοκράτορος κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἔχουσαν ὡς ἀκολούθως.

Ἴσον τοῦ Πρακτικοῦ τοῦ Νικολάου Μαγίστρου καὶ Ἀναγραφέως τῶν Κυκλάδων Νήσων τοῦ Τζάντζη, περιέχον πρὸς τοῖς ἄλλοις καὶ τὴν πεμφθεῖσαν αὐτῷ θείαν καὶ Ἀνακτορικὴν ἔγγραφον Πρόσταξιν· Ναὶ μὴν καὶ τὸ ἔνταλμα Εὐσταθίου Στρατηγοῦ καὶ προνοητοῦ Σάμου τοῦ Χαρσιανέτου, περὶ τῆς ἀναμετρήσεως τῆς Νήσου Πάτμου, καὶ τῆς πρὸς τὸν τιμιώτατον ΑΧ. κὺρ Χριστόδουλον καὶ ἡσυχαστὴν, καὶ τὸ μέρος αὐτοῦ παραδόσεως αὐ-